τὰ παραπόρφυρα τῶν ἰσχίων ταυτί, τὴν ἐπὶ τούς μηροὺς ἔγκλισιν, τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον, τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ' οὐ τρέμει νὴ Δία' ἅμ' ὑπομειδιῶσα 'ὥσπερ ἡ Μυρρίνης'. καὶ τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς, καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν τῇδε καὶ τῇδε ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας καὶ νικᾶν ἀποφήνασθαι τὴν Θρυαλλίδα. ἐγένοντο δὲ καὶ περιάλλων συγκρίσεις κα περὶ μασταρίων ἀγῶνες . . . τῇ μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ' ἡτισοῦν ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα.

Καταπαννυχίσασαι δ' οὖν καὶ τοὺς ἐραστὰς κακῶς εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι – ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη – ᾠχόμεθα ἔξοινοι, καὶ πολλὰ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπόν, ὡς ἐπὶ τὴν Ἄγνον κατῆμεν, πλησίον τῆς Μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ Θαΐς κακῶς, καὶ νὴ Δία εἰκότως· ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα τὸ μειράκιον.

Νῦν μὲν οὖν συγγνώμην ἔχομέν σοι τῆς ὑπεροψίας, τοῖς Ἀδωνίοις δὲ ἐν Κολλυτῷ ἑστιώμεθα παρὰ τῷ Θεττάλης ἐραστῇ· τὸν γὰρ τῆς Ἀφροδίτης ἐρώμενον ἡ Θεττάλη στέλλει. ὅπως δ' ἥξεις φέρουσα κηπίον καὶ κοράλλιον καὶ τὸν σὸν Ἄδωνιν ὃν νῦν περιψύχεις· μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν. ἔρρωσο.



Technische Universität Dresden Universitätsbibliothek

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416175945/14 UNIVERSITÄT LEIPZIG